

Vat. gr. I (Plato, = cod. Ω vel O), fol. 102r.
Cod. Arethae (?), saec. IX ex. - X in.

τῆι πατρίδι πρὸς πολεμίους βοηθεῖν · τοῦτον δὲ μετὰ τῶν ἄλλων | ζημιῶν, ἐκτίνειν καὶ τῆι βλάβηι τὴν βλάβην · πρὸς γὰρ ταῖς | αὐτοῦ στρατείαις, καὶ ὑπὲρ τοῦ ἀδυνατοῦντος στρατευέσθω. καὶ | τὰς ὑπὲρ ἐκείνου πολεμικὰς ταττέσθω τάξεις · ἢ μὴ δρῶν ταῦ|[5] τα, ὑπόδικος τῶι ἐθέλοντι τῆς ἀστρατείας γιγνέσθω κατὰ | νόμον · τὴν δὲ δὴ τῆς βλάβης ἀξίαν, εἴτε διπλῆν εἴτε τριπλῆν | εἴτε καὶ τετραπλασίαν, οἱ καταψηφισάμενοι δικασταὶ τατ|τόντων (e τα|ττόντων alia manus corr.) · ἐὰν δε ὁμόγονος ὁμόγονον τὸν αὐτὸν τρόπον τούτωι, | τρώσηι, τοὺς γεννήτας καὶ τοὺς συγγενεῖς

[3] αὐτοῦ [8] δὲ

μέχρι ἀνεψιῶν παί|[10] δων πρὸς (e προς alia manus corr.) γυναικῶν καὶ ἀνδρῶν, γυναῖκάς τε καὶ ἄνδρας συ|νελθόντας κρίναντας, παραδιδόναι τιμᾶν τοῖς γεννήσα|σι κατὰ (e κατα alia manus corr.) φύσιν · ἐὰν δὲ ἀμφισβητήσιμος ἡ τίμησις γί|γνηται, τοὺς πρὸς ἀνδρῶν εἶναι τιμῶντας κυρίους · ἐὰν δὲ | ἀδυνατῶσιν αὐτοί, τοῖς νομοφύλαξιν τελευτῶντας ἐπιτρέ|[15] πειν · ἐκγόνοις δὲ πρὸς (e προς alia manus corr.) γονέας εἶναι τῶν τοιούτων τραυμάτων, | δικαστὰς μέν, τοὺς ὑπὲρ ἑξήκοντα ἔτη γεγονότας ἐπάναγκες, | οἷς ἂν παῖδες μὴ ποιητοὶ · ἀληθινοὶ δὲ ὦσιν · ἀν δέ τις ὄφληι, | τιμᾶν εἰ τεθνάναι χρὴ τὸν τοιοῦτον, εἴτέ τι μεῖζον ἕτερον τούτου | πάσχειν · ἢ καὶ μὴ πολλῶι σμικρότερον · καὶ τῶν ξυγγενῶν | [20] τοῦ δράσαντος, μηδένα δικάζειν · μηδ'ἐὰν γεγονὼς ἦι | τὸν χρόνον ὅσον ὁ νόμος εἴρηκεν · δοῦλος δ'ἐάν τις ἐλεύ|θερον ὀργῆι τρώσηι, παραδότω τὸν δοῦλον ὁ κεκτημένος | τῶι τρωθέντι · χρῆσθαι, ὅ τι ἐὰν ἐθέληι · ἐὰν δὲ μὴ παραδι|δῶι, αυτὸς τὴν βλάβην ἐξιάσθω · ἐὰν δὲ ἐκ συνθήκης αἰ|[25] τιᾶται τοῦ δούλου καὶ τοῦ τρωθέντος, μηχανὴν εἶναί τις τὸ | γεγονὸς ἀμφισβητησάτω · ἐὰν δε μὴ ἕληι, τριπλασίαν | ἐκτισάτω τὴν βλάβην · ἑλὼν δε, ἀνδραποδισμοῦ ὑπόδι|κον ἐχέτω τὸν τεχνάζοντα μετὰ τοῦ δούλου · ὃς δ' ἂν ἄκων | ἄλλος ἄλλον τρώσηι, τὸ βλάβος ἁπλοῦν ἀποτινέτω · τύχης | [30] γάρ, νομοθέτης οὐδεὶς ἱκανῶς (in -ὸς alia manus corr., -ὁ- supra lineam addito) ἄρχειν · δικασταὶ δὲ ὄντων, | οἵπερ τοῖς ἐκγόνοις πρὸς τοὺς γεννήτορας ἐρρήθησαν. | καὶ τιμώντων τὴν ἀξίαν τῆς βλάβης: βία (in βίαια alia manus corr.) μὲν δή, πάν|θ' ἡμῖν τὰ προειρημένα πάθη · βιαίον δε, καὶ τὸ τῆς αἰκίας (ex αἰκείας alia manus corr.) | πᾶν γένος · ὧδε οὖν χρὴ περὶ τῶν τοιούτων, πάντα ἄνδρα καὶ | [35] παῖδα καὶ γυναῖκα αἰεὶ διανοεῖσθαι · τὸ πρεσβύτερον · ὡς οὐ | σμικρῶι τοῦ νεωτέρου ἔστι πρεσβευόμενον, ἔν τε θεοῖσι, καὶ | ἐν ἀνθρώποις τοῖς μέλλουσι σώζεσθαι (in σώι- alia manus corr.) καὶ εὐδαιμονεῖν · | αἰκίαν οὖν περὶ πρεσβύτερον ἐν πόλει γενομένην ὑπὸ νεω|τέρου ἰδεῖν, αἰσχρὸν καὶ θεομισές · ἔοικεν δὲ νέωι παντί,

[17] ἂν [18] εἶτε [20] μηδ' [24] αὐτός [26] δὲ [27] ἐκτεισάτω | δέ [33] βίαιον | δὲ

Scholia

ad l. 2: τοῦ π(ατ)ρι(άρ)χ(ου) τὸ β(ιβλ)ί(ον) ἐκτίνειν καὶ τῆι πό|λει τὴμ βλάβην ἀπ' ὀρθώ(σεως)

ad l. 9: γεννῆταί εἰσιν, οὐχ' οἱ ἐκ | γένους καὶ ἀφ' αἵματος προσή|κοντες · ἀλλ' οἱ τῶν γενῶν των συν|νενεμημένων εἰς τὰς φατρίας · | [5] οὗτοι δ'εἰσί. καθὰ δημόται | καὶ φράτορες · νόμωι τινὶ ἔ|χοντες κοινωνίαν · τὸ πά|λαι γ(ὰρ) εἰς δ̄ας. καὶ οὐχ' ὡς ὕστερον εἰς | ῑ, διήρητο ἡ των ἀθηναίων πολιτεία | [10] φυλὰς · κατ(ὰ) τὰς ὥρας τοῦ ἐνιαυτοῦ · | ἑκάστη δὲ, εἰς τριττύας καὶ | φατρίας (in φρα- alia manus corr.) λεγομένας τρεῖς. κατ(ὰ) | τοὺς μῆνας ὡς εἶναι ιβ̄ · ταύτας | δὲ πάλιν. εἰς λ̄ γένη · ὡς εἶναι | [15] τὰ πάντα. κατ(ὰ) τὰς ἡμέρας | τοῦ ἔτους τξ̄: –

ad l. 23, χρῆσθαι] τοῦ π(ατ)ρι(άρ)χ(ου) τὸ β(ιβλ)ί(ον) χρήσασθαι

ad l. 29: σ(η)μ(είωσαι)

ad l. 30, ἱκανὸς] τοῦ π(ατ)ρι(άρ)χ(ου) τὸ β(ιβλ)ί(ον) μικρ(ὸν) ἀ|π' ὀρθώσε(ως).

ad l. 32, βίαια] ἀλλαχ(οῦ) βία μὲν δή